κινήσεων αἷς σώζεται ξύμπαν δέμας.
ἐξ ὧν περ αὖθις ὧδέ πως βεβλαμμένων
τὸ πᾶν ἐγείρεσθ' ἀντερείσεως σθένος, ιϛ. 319
χ' ὁρμῇ φέρεσθαι τῆσδ' ἄγαν τ' ἠπηγμένῃ
πρὸς τὴν δράσιν τοῦδ' ἀντιτεῖνον ἐξίσης,
ῥύμῃ τ' ἄληκτα τῇ βιαίᾳ συγχέον
καὶ ξυνταχῦνον τῶν ῥοωδῶν τὸν τρόχον,
ὡς τῶνδε κρᾶσιν αὖθις ἀλλοιοῦν πλέον· ιζ. 347
ταῦτ' ἄλλο δ' οὐδὲν ἢ ξυνίστασθαι νόσον. ια. 230

ΙΘ. Ἄμφω γε τοίνυν ξυντελοῦσιν ἐς νόσον
ἥτ' ἀντέρεισις πρὸς δὲ τουρέθισμά τε, ιη. 356 363
τουτὶ μὲν ὡς δρῶν, ἀντιδρῶν δ' ὡς ἥδ' ὅλως·
καὶ δῆτα τουρέθισμα δραστικὴν κάλει,
συνεκτικὴν δὲ προσφυέστατ' αἰτίαν
τὴν ἀντέρεισιν· ἣν δὲ δὴ ξυνημμένα
ἀμοιβὸν ἀλλήλοισι δρᾷ τάδε δράσιν,
ταύτην κάλει δὴ τῆς νόσου παρουσίαν
καὶ τῆσδ' ὕπαρξιν, οὐσίαν τε τῆσδ' ὅλως·
τούτοιν γὰρ ἀμφοῖν πολλαχῶς δρώντοιν δράσιν
ἀμοιβὸν ἀλλήλοισιν ἐξέφυ γόνος
ἢ αἰτιατὸν ἑσμὸς ὁ ξυμπτωμάτων.
ἐκ τοῖνδε καὶ γὰρ τίκτεται ξυνημμένοιν
ξυμπτώμαθ' οἷσι πᾶσα σύγκροτος νόσος,
οὐ μήν γε δρῶντος αἰτίου ποτ' ἐκ μόνου.
ἢ γὰρ τόδε δρῶν τήνδ' ἂν ἕδρα τὴν δράσιν
σκήνει τ' ἐν ᾧγε πάμπαν ἠμαύρωσθ' ἅπαν

κινή-